# De azymis

## ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΑΖΥΜΩΝ

95.388

Ἰστέον, ὅτι οἱ τὰ ἄζυμα προσκομίζοντες, νεκρὰν σάρκα, καὶ οὐχὶ ζῶσαν προσφέρουσιν. Ἡ γὰρ ζύμη ἀντὶ ψυχῆς τῷ φυράματι γίνεται, καὶ τὸ ἅλας ἀντὶ τοῦ νοός· ὁ γὰρ Κύριος σῶμα ἔμψυχόν τε καὶ ἔννουν ἐκ τῆς Ἀειπαρθένου προσλαβόμενος, διὰ τελείου ἄρτου εἰκότως παρέδωκε τὸ τῆς Καινῆς Διαθήκης μυστήριον· εὐλογήσας αὐτὸν, καὶ κλάσας, καὶ εἰπών· «Λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου.» Καὶ ὁ Λουκᾶς ἐν ἁγίῳ Εὐαγγελίῳ αὐτοῦ, «Καὶ λαβὼν ἄρτον, φησὶν, εὐχαριστήσας ἔκλασεν.» Ἰδοὺ δὲ καὶ αὐτὸς ἄρτον εἶπε λαβεῖν τὸν Χριστὸν, καὶ οὐκ ἄζυμον. Οὐ γὰρ ἔτι ἦν, πέμπτης οὔσης τηνικαῦτα ἡμέρας· δεκακαιτρίτη γὰρ ἦν ἡ σελήνη τότε, καὶ οὐκ ἦν ἄζυμον διὰ τὸ μήπω γενέσθαι.

Τῇ ιεʹ γὰρ τῆς σελήνης νενομοθετημένον ἦν ἐσθίειν ταῦτα. Τῇ δὲ ιδʹ τὸν ἀμνὸν καὶ μόνον ἤσθιον· διὸ καὶ τὴν δεκακαιτετάρτην τοῦ αὐτοῦ μηνὸς τῆς σελήνης, Πάσχα προσαγορεύει ὁ νόμος· τὴν δὲ ιεʹ αὐτὴν καὶ Σάββατον ὀνομάζει. Εἰ οὖν ὁ Χριστὸς ἐτύθη κατὰ τὴν δεκακαιτετάρτην τῆς σελήνης, ἡμέρᾳ Παρασκευῇ· τὸ δὲ Σάββατον ἦν τῶν ἀζύμων ἑορτὴ, ὅτε τὰ ἄζυμα ἤσθιον, πότε ταῦτα τοῖς ἀποστόλοις παρέδωκεν, ὅτι λέγουσιν παρὰ τῶν ἀποστόλων ταῦτα λαβεῖν; Οὐδὲ γὰρ τὸ Πάσχα τὸ νόμιμον κατὰ τὸν χρόνον ἔφαγεν ὁ Χριστός. Καὶ γὰρ μετὰ τὸ δειπνῆσαι, παρέδωκε διὰ τῆς τοῦ ἄρτου κλάσεως, τὸ τῆς Καινῆς Διαθήκης μυστήριον κατὰ τὴν πέμπτην ἡμέραν. Ὅτε δὲ ἑορτὴ τῶν Ἀζύμων ἦν ἐν τῷ Σαββάτῳ κατὰ τὴν ιεʹ ἡμέραν τοῦ μηνὸς, ἐν τῷ τάφῳ ἔκειτο ὁ Κύριος. Ἀζύμων οὖν μὴ ὄντων πρὸ τῆς ἑορτῆς τῶν Ἀζύμων ἐν ὅλῳ τῷ ἐνιαυτῷ, ποῦ εὑρέθησαν τότε τὰ ἄζυμα, ὅτε μετὰ τῶν αὐτοῦ μαθητῶν τὸ δεῖπνον ἔφαγεν ὁ Χριστός; Παύσασθε οἱ τῇ ἀληθείᾳ ἀντιμαχόμενοι.

Καὶ τὸ, «Ἦν δὲ Παρασκευὴ τοῦ Πάσχα,» οὕτω νοεῖται. Ἡτοίμαζον γὰρ, οἷον καὶ παρεσκεύαζον τὰ τῆς ἑορτῆς τοῦ Πάσχα· καὶ τὸ, «Αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα,» πῶς νοήσεις, εἰ τῇ πέμπτῃ ἦν τὸ Πάσχα; πῶς τῇ Παρασκευῇ πρὸς τὸ πραιτώριον οὐκ εἰσῆλθον, ἀλλ' εὐλαβοῦντο προκαθαιρόμενοί πως διὰ τὴν τοῦ Πάσχα μετάληψιν;



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.